στάσεων, ἀλλ᾽ ὁμοτίμως εἰς αὐτὸ ταύτας ἀναφέρεσθαι, καὶ ἐκ τοῦ μὴ τὴν μὲν πάντων, τὴν δὲ τινῶν ἄρχειν καὶ προνοεῖν, ἀλλὰ τὰς τρεῖς πάντων τῶν ὄντων καὶ τὴν δημιουργίαν ἔχειν ὁμοσθενῶς 1) καὶ ὁμοτίμως, καὶ τὴν κυριότητα καὶ τὴν πρόνοιαν.

§. ιε΄. Ὁρᾷς, ὅπως ὁ τῆς Ἐκκλησίας διδάσκαλος ἐβάσταζε τὸ ὄνομα τοῦ Χριστοῦ; ἔτι συνόρα, « Παῦλος δοῦλος Ἰησοῦ Χριστοῦ, κλητὸς ἀπόστολος, ἀφωρισμένος εἰς Εὐαγγέλιον Θεοῦ, (ὃ προεπηγγείλατο διὰ τῶν προφητῶν αὐτοῦ ἐν γραφαῖς ἁγίαις), περὶ τοῦ υἱοῦ αὐτοῦ, τοῦ γενομένου ἐκ σπέρματος Δαβὶδ 2) »· πάλιν κἀνταῦθα 3) κηρύττεται ἡ Τριάς, Θεός, καὶ υἱὸς τοῦ Θεοῦ, καὶ Πνεῦμα ἅγιον, καὶ ἡ σάρκωσις συνανακηρυττομένη τοῦ λόγου· ἐπεὶ δὲ υἱὸν Θεοῦ εἶπεν, ἐπάγει, δι᾽ ὧν ἀφορίζεται ὁ υἱός· τοῦ γὰρ ἐπιγνωσθέντος, φησί, καὶ ἀφορισθέντος ἐξ ἄλλων τε πολλῶν ἰδιωμάτων, ἃ μηδενὶ πρόσεστι, καὶ ὅτι, ὃ μηδέποτε γέγονεν, αὐτουργὸς τῆς ἰδίας ἀναστάσεως γέγονεν, οὐχ ἥκιστα δὲ καὶ ἐξ ὧν τὸ πανάγιον πνεῦμα ἐπεσκίασέ τε τῷ τόκῳ, τὸν ὁμοούσιον λόγον ἐκ σπέρματος Δαβὶδ συνεργοῦν 4) προελθεῖν, καὶ μάρτυς ἐν τῷ βαπτίσματι τῆς ἀψευδοῦς υἱότητος καὶ τῆς ὁμουσίου θεότητος γεγονός 5). Εἰς κόρον ἄν, οἶμαι, λογισθείην τοῖς ἀκροαταῖς προσφέρεσθαι, καὶ τὰ περιττὰ φιλότιμος, εἰ πάσας τὰς χρήσεις τοῦ θεσπεσίου Παύλου ἀναγράφοιμι, δι᾽ ὧν ἐθεολόγει τὴν Τριάδα, καὶ τῆς σαρκώσεως ἐκήρυττε τὸ μυστήριον, βαστάζων ἐνώπιον ἐθνῶν τε καὶ βασιλέων τὸ ὄνομα τοῦ Κυρίου· διόπερ τοῖς εἰρημένοις ἀρκεσθησόμεθα, οὐδὲν ἔργον ὑπολείποντες, οὐδὲ τοῖς ἐθέλουσι κἀκείνας 6) ἀναλέγεσθαι. Κατὰ τὰ αὐτὰ δὲ δηλονότι καὶ τῶν ἄλλων μαθητῶν ὁ θεῖος ἐκήρυττε καὶ ἐδίδασκε χορός· ὡς δὲ ἐκήρυττον, οὕτως ἐβάπτιζον· ἐκήρυττον δέ, ὡς ἡ ἐνυπόστατος αὐτοὺς σοφία θεολογεῖν καὶ κηρύττειν ἐξεπαίδευεν· ὧν ἓν ἦν καὶ οὐδενὸς τῶν ἄλλων δογμάτων ἔλαττον, καὶ τὸ εἰς πατέρα, καὶ υἱόν, καὶ πνεῦμα ἅγιον τὸ λουτρὸν τῆς παλιγγενεσίας τελεσιουργεῖν, καὶ ταῖς αὐτῶν ἐπικλήσεσι τοὺς βαπτιζομένους ἄγειν εἰς ἀναγέννησιν. Οὕτω τῶν Ἀποστόλων ὁ θεόκριτος σύλλογος τὸ δῶρον ἐμυσταγώγει τῆς ἀφέσεως· οὕτω Παῦλος ἐβάπτισεν, οὓς ἐβάπτισεν· οὕτω βαστάζων ἐνώπιον ἐθνῶν καὶ βασιλέων τὸ ὄνομα τοῦ σωτῆρος, ἐπαῤῥησιάζετο· κατὰ ταύτην ἐδόα τὴν ἔννοιαν, « παρακαλῶ οὖν ὑμᾶς ἀδελφοὶ διὰ τοῦ Κυρίου ἡμῶν Ἰησοῦ Χριστοῦ, ἵνα τὸ αὐτὸ λέγητε ».

§. ιϛ΄. Βούλει δέ σοι καὶ τὸν κορυφαῖον παρέσεσθαι μάρτυρα; εἰ γὰρ καὶ μὴ δοκεῖ κατά γε τὴν τῶν ῥημάτων προφορὰν τῷ τῆς Ἐκκλησίας ἔθει καὶ τῇ πράξει συμφθέγγεσθαι, ἀλλά γε φιλαλήθως αὐτοῦ καὶ ἐπιμελῶς ὁ σκοπὸς ἀνερευνώμενος, οὐδὲν ἔλαττον, εἰμὴ καὶ μᾶλλον, ταύτην ἐπικροτεῖ καὶ συνίστησι· καὶ γὰρ ταῖς θαυματουργίαις οὐκ ἔλαττον τῆς θεοσεβοῦς διδασκαλίας τὴν Ἰουδαίαν περιερχόμενος, τὸν πρὸς τῇ ὡραίᾳ πύλῃ καθεζόμενον, οὗ αἱ βάσεις τῶν ποδῶν καὶ τὰ σφυρὰ διελέλυτο, τοῦτον ἁρμολογῶν τῷ ῥήματι, καὶ ὑγιᾶ παραδόξως ἀναδεικνύς, «Ἐν τῷ ὀνόματι, φησί, τοῦ Ἰησοῦ Χριστοῦ ἔγειραι καὶ περιπάτει 7) ». Ἀλλ᾽ ὁ μὲν τύπος τῆς φωνῆς τῇ ὑπὲρ λόγον ἐνεργείᾳ τῆς χάριτος οὕτω συμπροήχθη, αὐτὸς δὲ τοῦ ῥήματος τὴν δύναμιν ἀναπτύσσων, καὶ τί βούλεται αὐτῷ τὸ ὄνομα δηλοῦν ἑρμηνεύων, τοὺς μὲν καταπληττομένους τῷ θαύματι ἐδίδασκεν, ὡς ὁ ἐξουθενηθεὶς παρ᾽ αὐτῶν καὶ σταυρῷ καὶ θανάτῳ καταδικασθείς, αὐτός ἐστιν, οὗ ἡ δύναμις τὴν ἀνίατον ἰάσατο νόσον· ἐδίδασκε δέ, καὶ ὅτι τὸ ὄνομα νῦν αὐτῷ τῆς πίστεως τὴν συγκεφαλαίωσιν καὶ τὴν ὁμολογίαν ἀπαγγέλλει· ὅρα γὰρ οἷά φησιν, « ὁ Θεὸς Ἀβραὰμ καὶ Ἰσαὰκ ἐδόξασε τὸν παῖδα αὐτοῦ Ἰησοῦν », καὶ ἐπιδηλότερον τὸ βούλημα ποιῶν, ἐπάγει, « Καὶ ἐπὶ τῇ πίστει τοῦ ὀνόματος αὐτοῦ τοῦτον, ὃν θεωρεῖτε καὶ οἴδατε, ἐστερέωσε τὸ ὄνομα αὐτοῦ », (πρόσχες)· ἀλλὰ καί, «ἡ πίστις ἡ δι᾽ αὐτοῦ ἔδωκεν αὐτῷ τὴν ὁλοκληρίαν ταύτην ». Ἀρχόμενος τοῦ θαύματος, τὸ ὄνομα τοῦ Ἰησοῦ Χριστοῦ αὐτουργεῖν τὴν ἴασιν ανακηρύττει· εἶτα μεταλαμβάνει τὸ ὄνομα πρὸς τὴν πίστιν, ὅπερ ἐστὶ τὸ μυστήριον τῆς εὐσεβείας· μετὰ τοῦτο πάλιν ὄνομα τὴν εἰς αὐτὸν καλεῖ πίστιν, ὥσπερ δεδιὼς μὴ λήθην λάβωσιν οἱ ἀκροαταί, ὅτι τὸ ὄνομα αὐτῷ ἀντὶ τῆς πίστεως παρελήφθη, εἶτα ἐπάγει, « καὶ ἡ πίστις ἡ δι᾽ αὐτοῦ », τουτέστιν ἡ κηρυχθεῖσα παρ᾽ αὐτοῦ. Ὁρᾷς, ὅπως τὸ μὲν ὄνομα τὴν πίστιν τὴν 8) εἰς αὐτὸν ἀπαγγέλλει, ἡ δὲ πίστις τὴν ὑπ᾽ αὐτοῦ κηρυχθεῖσαν θεοσέβειαν, τὸ δὲ κήρυγμα τοῦ χωλοῦ τὰς βάσεις στερεοῖ; ὥστε, εἰμή τις ἄλλη τῶν μαρτυριῶν προσῆν, ἤρκεσεν ἂν ἡ τοῦ κορυφαίου μόνη, προκομιζομένη, λαμπρῶς παραστῆσαι, τί σημαίνει τὰ ἱερὰ λόγια ἐν τῷ λέγειν « βαπτίζεσθαι τοὺς προσιόντας ἐν τῷ ὀνόματι Ἰησοῦ Χριστοῦ », καὶ τὰ ὅμοια· ταῦτα μὲν Πέτρος, τὴν θεολογίαν ἐμφανίζων, ἔλεγεν. Ὁ δὲ τῶν μαθητῶν ἠγαπημένος συνεδογμάτιζε· Λουκᾶς συνέγραφε· Παῦλος ἐδίδασκεν· οἷς καὶ τῶν λοιπῶν Ἀποστόλων ὁ χορός, (οὐ γὰρ ἦν οὐδαμῶς οὐδ᾽ ἐπὶ νοῦν λαβεῖν αὐτοὺς περὶ τὰ καίρια διαφέρεσθαι, 9) συνανεκήρυττεν· οὕτως ὄνομα Χριστοῦ ἡ πίστις ἡ εἰς Χριστόν, πίστις δὲ εἰς Χριστόν, ἡ δι᾽ αὐτοῦ παραδεδομένη τοῖς αὐτόπταις τοῦ λόγου καὶ ὑπηρέταις θεολογία, καὶ τῆς Οἰκονομίας τὸ μυστήριον.

1) ὁμοσθενῶς ΒΜ. – 2) Ῥωμ. α, 1. – 3) ΒΜ. τὸ δὲ ΑΡ. κἂν. – 4) Ἡμετ. διόρθ. τὸ δὲ ΑΡ. καὶ ΒΜ. συνεργόν. – 5) Ἡμετ. διόρθ. τὸ δὲ ΒΜ καὶ ΑΡ γεγονώς. – 6) Κἀκείνοις ΒΜ. – 7) Πράξ. γ. 6. – 8) Τὴν πίστιν νῦν ΒΜ. – 9) Φέρεσθαι ΒΜ.

§. ιζ΄. Σὺ δ᾽, εἴτις ἔρως ἐπῆλθε πρὸς τὴν αὐτὴν ὑπόθεσιν εὐπορεῖν πλειόνων ἐπιχειρημάτων, κἀντεῦθεν τῆς προθέσεως οὐκ ἀποτεύξῃ· πρῶτον μὲν γάρ, τῆς ἀπ᾽ ἀρχῆς ἀπορίας εὐλογωτέρα λύσις οὐκ ἂν εἴη τις ἑτέρα παρὰ τὴν εἰρημένην σαφῶς ἐμφανίζουσα τὴν τοῦ ζητήματος γνῶσιν. Δεύτερον δέ, καὶ ἥν τινες ἐπενόησαν λύσιν, τὸ ἀνεπιτίμητον οὐκ ἔσχε· καὶ γὰρ ἤδη μὲν οὐκ ὀλίγας ἔδωκε λαβάς, δοίη δ᾽ ἂν σοι βουλομένῳ καὶ πλείους· εἰ γὰρ προσίστατο 1) τοῖς κατ᾽ ἀρχὰς προσιοῦσι καὶ μόνον προφερόμενον τὸ ὄνομα τοῦ Χριστοῦ, πῶς ἦν τῶν κατεπειγόντων βαπτίζοντας αὐτὸ προκομίζειν; οὐδὲ γὰρ θεραπείαν τινὰ τοῦ θορυβοῦντος παρεῖχεν ἂν τὸ παραλυποῦν, προτεινόμενον, ἀλλ᾽ ἐπὶ πλέον ἐξετράχυνεν ἂν καὶ ἀνεφλέγμαινεν αὐτῶν 2) τὴν γνώμην· σιγώμενον γὰρ μᾶλλον τὸ ἀνιαρόν, ἢ φθεγγόμενον, τοὺς δυσχεραίνοντας αὐτὸ διαπραΰνει· καὶ τὸ ἔτι μᾶλλον ἀναφλέγον εἰς ὀργήν, σιωπῆσαι μὲν καὶ ὑπεριδεῖν ἃ τοῖς πολλοῖς τῶν Ἰουδαίων ἐγνωρίζετο, Πατέρα λέγω καὶ Πνεῦμα, ἀντεπεισάγειν δὲ τὴν κλῆσιν τοῦ Ἰησοῦ 3), οἷς οὐδὲ τὴν φωνὴν ἄλυπον ἦν ταῖς ἀκοαῖς παραδέχεσθαι· καὶ γὰρ μᾶλλον ἂν προαγόμενον οὕτω, προσίστατο 4)· μετὰ μὲν γὰρ τῶν τιμωμένων συνταττομένου, πρὸς ἑκατέραν μοῖραν, τήν τε παραλυποῦσαν καὶ τὴν εὐφραίνουσαν ὁ ἀκροατὴς ἐμερίζετο, καὶ πρὸς μίαν καινοτομίαν, τὴν προσθήκην 5), ἐταράσσετο· τῶν δὲ γνωρίμων καὶ τιμωμένων σιγῇ παραπεμπομένων, μόνου δὲ τοῦ πλήττοντος ἀντ᾽ ἐκείνων κηρυσσομένου, πῶς οὐκ ἦν εὐλογώτερον ἀποπηδᾷν αὐτίκα, καὶ τὰ ὦτα φράττειν, διπλαῖς, μᾶλλον δὲ πολλαπλαῖς βαλλομένους ταῖς καινοτομίαις, καὶ τὸ βέλος τῆς ἀνίας πικρότερόν τε καὶ δριμύτερον ὑποδεχομένους; ἐξ ὧν μᾶλλον τὸ παντελῶς αὐτοὺς ἐκτραχύνεσθαι, καὶ τὸ προσιέναι ὅλως τῷ κηρύγματι εἰς τὸ ἀδύνατον κατεσκευάζετο.

§. ιη΄. Οὐκ ἠνείχοντο, φησί, τὸ Ἰουδαίων ἔθνος Θεὸν τὸν Χριστὸν ὁμολογεῖν, διὰ τοῦτο ἄρα ἐν τῷ ὀνόματι αὐτοῦ τῶν Ἀποστόλων ὁ χορὸς ἐβάπτιζε· καὶ ποῦ τοῦτο λόγον ἔχοι πραΰνειν διὰ τοῦ φλεγμαίνοντος, καὶ θεραπεύειν διὰ τοῦ τραύματος; πῶς δ᾽ οὐχ ὁ ἐναντίος λόγος εἰς τὸ εὐλογώτερον ἂν εἴη καὶ συνετώτερον προτεινόμενος; οὐκ ἐβάπτιζον οἱ Ἀπόστολοι εἰς τὸ ὄνομα τοῦ Χριστοῦ· βαρέως γὰρ οἱ μυσταγωγούμενοι καὶ πρὸς αὐτὴν τὴν κλῆσιν ἐφέροντο. Ἆρ᾽ οὐκ εἰς ἀποτροπὴν μᾶλλον ἀπῆγον 6) τοῦ βαπτίσματος, εἰ οὕτω βαπτίζειν ἐπεχείρουν, καὶ πρὸς τοὐναντίον, ἢ ἐκήρυττον; Ἀλλ᾽ ἐβάπτιζον ὡς ἐβούλοντο, ἀλλ᾽ οὐχ ὡς ὁ δεσπότης ἐδιδάξατο, καὶ κράτος ἔλαβεν ἡ γνώμη, καὶ ἔθει καὶ χρόνῳ τὸ τοῦ διδασκάλου δόγμα παραγράφεσθαι. Τίς οὖν πάλιν, ἢ πόθεν ἐπέστη, ζῆλον καὶ ῥώμην ὃς τοσαύτην ἔσχεν ἀναλαβεῖν, δι᾽ ὧν τὸ παράγγελμα τοῦ σωτῆρος λήθῃ δεδομένον ἀνεσώσατο; ἀλλ᾽ εἰπεῖν οὐκ ἔχουσιν, οὐδ᾽ ἂν εἴπωσι· τίς γὰρ ἂν αὐτῷ καὶ προσέσχε, τῆς δεσποτικῆς μὲν ἤδη παρεωραμένης ἐντολῆς, καὶ τότε οὐχ ὑπὸ τῶν τυχόντων, ἀλλ᾽ οἳ τῶν ἄλλων ἦσαν τῆς εἰς Χριστὸν πίστεως κήρυκες καὶ διδάσκαλοι; τίς οὖν ἕτερος εἰς τὴν οἰκείαν τάξιν τὸ δεσποτικὸν ἐπανήγαγε πρόσταγμα, καὶ μάλιστα τῆς τῶν μαθητῶν ἐπινοίας, ὡς ὁ διαφιλονεικῶν λόγος βούλεται, εἰς τὴν οἰκουμένην ἐξαπλωθείσης ἤδη, καὶ συνήθους ἅπασι τοῖς μυσταγωγουμένοις καθισταμένης; Καίτοι μήπω μὲν πλατυνθείσης τῆς περὶ τοῦ βαπτίσματος καινοτομίας, οὐκ ἦν ἐργῶδες οὕτως τὸ δεσποτικὸν κρατύνεσθαι νομοθέτημα· ταύτης δὲ τὰ πέρατα τῆς οἰκουμένης καταλαβούσης, τίς ἂν εἴη ὁ τὴν κατασχοῦσαν μὲν μυσταγωγίαν ἐκβαλεῖν γεγενημένος δυνατός, τὴν δ᾽ ἐξ ἀρχῆς δοθεῖσαν μέν, σεσιγημένην δὲ παντελῶς, ἀνακαλέσασθαι; εἰ γὰρ οὐχ εὗρε χώραν διὰ τὸ δυσπαράδεκτον τῶν ἀκροατῶν ἡ σωτήριος ἐντολή, ὁπότε μηδεμία τις ἑτέρα μύησις προκατέλαβεν αὐτῶν τὰς ἀκοάς, μηδὲ ταῖς ψυχαῖς ἐνεγράφη καὶ ἐνετυπώθη, ἐπειδὰν κατεσχέθησαν καὶ ἐτελέσθησαν τῇ τῶν Ἀποστόλων τελετῇ, πῶς ἂν εὕροι 7) παρείσδυσιν, ἀντιπιπτούσης αὐτῇ καὶ ἀντανισταμένης τῆς ἤδη τὸ κράτος ἄμαχον ἐχούσης; Ὁρᾷς, ὡς ἀδύνατον πανταχόθεν ἀποδείκνυται 8), τοὺς αὐτόπτας τοῦ λόγου καὶ ὡς ἀληθῶς ὑπηρέτας, ὧν ὁ βίος ἦν καὶ ὁ δρόμος θανάτῳ τὸ δεσποτικὸν βεβαιῶσαι φίλτρον, μὴ 9) τῶν αὐτοῦ θεσπισμάτων συντηρῆσαι τὸ ἀπαράβατόν τε καὶ ἀπερίτρεπτον;

§. ιθ΄. Τί δ᾽ ἂν εἴποις; τίς δ᾽ ἄν σε μὴ λάβοι φρίκη καὶ δέος, ἐπειδὰν τῶν ἀποστολικῶν θεσμῶν τὰς ἀπειλουμένας ψήφους ἀκούσῃς, ἃς οὐχ εἷς μόνον, οὐδὲ δεύτερος, οὐδὲ καθ᾽ ἕνα πλείους, σύμπας δ᾽ ὁ χορὸς τῶν μαθητῶν τὴν δεσποτικὴν ἐντολὴν βεβαιῶν, οὐ λύων, ἄπαγε, ἀπεφήνατο; καὶ ποῦ λαβεῖν ἐστιν αὐτῶν τὸ φρικτὸν τῆς ἀρᾶς; αὐτῶν χρεὼν ἀκούειν τῶν οὐρανίῳ ψήφῳ κεκυρωμένων φωνῶν· διαπρύσιον αὗται βοῶσιν 10), « Εἴ τις ἐπίσκοπος, ἢ πρεσβύτερος, (ἐπίστησον ἄνθρωπε, μᾶλλον δὲ οὐδὲ ἐπιστάσεως ἐνταῦθα δεῖ· περιφανῶς γὰρ ἡ δεσποτικὴ κυροῦται παράδοσις·) εἴτις οὖν κατὰ τὴν τοῦ Κυρίου διάταξιν μὴ βαπτίσοι εἰς πατέρα, καὶ υἱόν, καὶ ἅγιον πνεῦμα, καθαιρείσθω » καὶ οὐδὲ μέχρι τούτου τὴν καταδίκην ἱστῶσιν, ἀλλὰ καὶ «ἐὰν ὀνόματα ἀντ᾽ 11) ὀνομάτων παραλαβεῖν οἱ βαπτίζοντε

1) ΒΜ. τὸ δὲ ΑΡ. προΐστατο — 2) αὐτῷ ΒΜ. — 3) Υἱοῦ ΒΜ. – 4) ΒΜ. τὸ δὲ ΑΡ. προΐστατο — 5) Οὕτω καὶ ὁ ΒΜ. ὁ δὲ Μάϊος διορθοῖ τῆς προσθήκης. – 6) Ἐπῆγον ΒΜ. – 7) Ἴσ. γρ. εὗρε. – 8) Ἡμετ. διόρθ. οἱ δὲ ΑΡ. καὶ ΒΜ. ἐπιδείκνυται. – 9) Ἐν δὲ τῷ ΑΡ. λείπει τὸ «μὴ» ἔλειπε καὶ ἐν τῷ ΒΜ. τοῦτο δὲ παρεσημείωσεν ὁ Μάϊος καὶ μετέφρασε. – 10) Καν. Ἀποστολ. μθ. ν. πρβλ. καὶ Ἀποστόλ. Διαταγ. Ζ, 22. – 11) Ἐν ΒΜ. λείπει τὸ ὀνόματα ἀντ᾽.